Plutarchus Biogr., Phil., Regum et imperatorum apophthegmata [Sp.?] (172b-208a)
Stephanus page 193, section B, line 11
Ἰάσονος δὲ τοῦ Θεσσαλῶν μονάρχου συμμάχου μὲν εἰς Θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμεινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος ʻἀδίκων' ἔφη 'χειρῶν ἄρχεις·

Plutarchus Biogr., Phil., De genio Socratis (575a-598f)
Stephanus page 583, section F, line 8
οὐκοῦν' ἔφη ὁ Ἐπαμεινώνδας ʻἸάσωνι μὲν τῷ Θετταλῶν ταγῷ πέμψαντι δεῦρο πολὺ χρυσίον ἔναγχος πρὸς ἡμᾶς καὶ δεομένῳ λαβεῖν ἀγροικότερος ἐφάνην ἀποκρινόμενος ἀδίκων χειρῶν αὐτὸν κατάρχειν, ὅτι μοναρχίας ὢν ἐραστὴς ἄνδρα δημότην ἐλευθέρας καὶ αὐτονόμου πόλεως ἐπείρα διὰ χρη|μάτων·

Isocrates Orat., In Lochitem (orat. 20)
Section 1, line 1
..
Ὡς μὲν τοίνυν ἔτυπτέ με Λοχίτης ἄρχων χειρῶν ἀδίκων, ἅπαντες ὑμῖν οἱ παρόντες μεμαρτυρήκασιν.

Demosthenes Orat., In Aristocratem
Section 50, line 3
ἄν τις τύπτῃ τινά' φησὶν ʻἄρχων χειρῶν ἀδίκων,' ὡς, εἴ γ' ἠμύνατο, οὐκ ἀδικεῖ.

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 7, line 4
μενον, ἐμαρτύρησαν δὲ οἱ μάρτυρες οὗτοι ὡς ἐθέλοι παραδοῦναι Θεόφημος καὶ πρόκλησιν προκαλοῖτο, ᾠήθησαν δὲ οἱ δικασταὶ ἀληθῆ εἶναι τὴν μαρτυρίαν, φεύγειν δ' ἐμὲ τὸν ἔλεγχον <τὸν> ἐκ τῆς ἀνθρώπου περὶ τῆς αἰκείας, ὁπότερος ἡμῶν ἦρξεν χειρῶν ἀδίκων (τοῦτο γάρ ἐστιν ἡ αἴκεια), πῶς οὐκ ἀναγκαῖόν ἐστιν τούτους τοὺς μάρτυρας τὰ ψευδῆ μεμαρτυρηκέναι, οἵ γε οὐδὲ νῦν πω τολμῶσι τὸ σῶμα τῆς ἀνθρώπου παραδοῦναι, καθὰ ἔφασαν προκαλέσασθαι τὸν Θεόφημον καὶ ἐμαρτύρησαν αὐτῷ, καὶ τὴν μὲν μαρτυρίαν ἔργῳ

βε-
Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 9, line 1
γενόμενα ἐν γραμματείῳ κατὰ τὸν νόμον ψευδεῖς εἶναι καὶ ὑπ' ἐμοῦ παρεσκευασμένους, τὴν δ' ἄνθρωπον τὴν παραγενομένην ἐρεῖν τἀληθῆ, οὐκ ἐκ γραμματείου μαρτυροῦσαν, ἀλλ' ἐκ τῆς ἰσχυροτάτης μαρτυρίας, βασανιζομένην, ὁπότερος

ἦρξε χειρῶν ἀδίκων.

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 15, line 2
πῶς οὖν σὺ κύριος μὲν ὢν τῆς ἀνθρώ-
που, μέλλων δὲ προκαλεῖσθαι ταύτην τὴν πρόκλησιν ἣν
μεμαρτυρήκασί σοι, καταφεύγων δὲ εἰς τὴν ἄνθρωπον περὶ
τοῦ δικαίου, ἄλλου δέ σοι οὐδενὸς ὄντος μάρτυρος ὡς ἐπλήγης
ὑπ' ἐμοῦ ἄρχοντος χειρῶν ἀδίκων, οὐχ ἧκες ἔχων τὴν ἄνθρω-
πον πρὸς τὸν διαιτητὴν καὶ παρεδίδους τὸ σῶμα παρούσης
τῆς ἀνθρώπου, κύριός γε ὢν αὐτῆς;

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 36, line 1
λαβὼν δὲ αὐτὸν οὐκ ἔνδον ὄντα, ἐκέλευσα τὴν ἄνθρωπον τὴν
ὑπακούσασαν μετελθεῖν αὐτὸν ὅπου εἴη, ταύτην ἣν μεμαρτυρή-
κασιν οὗτοι προκαλέσασθαι τὸν Θεόφημον παραδοῦναι, ἐγὼ
δὲ ἐξαιτῶν οὐ δύναμαι παραλαβεῖν, ἵν' ὑμεῖς τὴν ἀλήθειαν
πύθησθε, ὁπότερος ἦρξεν χειρῶν ἀδίκων.

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 39, line 1
ὡς οὖν ἀληθῆ λέγω, καὶ ἦρξεν χειρῶν ἀδίκων ὁ Θεόφημος,
οὐκ ἄλλοθεν δεῖν οἶμαι τὸν ἔλεγχον γενέσθαι ἢ ἐκ τῆς
ἀνθρώπου, ἣν μεμαρτυρήκασιν οὗτοι οἱ μάρτυρες ὡς ἤθελεν
ὁ Θεόφημος παραδιδόναι.

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 40, line 8
ἐπειδὴ τοίνυν τὴν ἄνθρωπον οὐ
παραδιδόασιν, ἣν αὐτοὶ ἔφασαν προκαλέσασθαι, βούλομαι
ὑμῖν καὶ τοὺς μάρτυρας παρασχέσθαι, οἳ εἶδόν με πρότερον
πληγέντα ὑπὸ τοῦ Θεοφήμου (ἡ δὲ αἴκεια τοῦτ' ἔστιν, ὃς ἂν
ἄρξῃ χειρῶν ἀδίκων πρότερος) ἄλλως τε καὶ κατὰ τὸν νόμον
καὶ κατὰ τὰ ψηφίσματα τὰ ὑμέτερα εἰσπράττοντα.

Demosthenes Orat., In Evergum et Mnesibulum [Sp.]
Section 47, line 3
ἐγὼ μὲν τοίνυν, εἰς ἃ οὗτος κατέφυγεν τότε
δίκαια, ἐκ τούτων οἴομαι δεῖν τὸν ἔλεγχον γενέσθαι, ἐκ τῆς
ἀνθρώπου βασανιζομένης, ὁπότερος ἦρξεν χειρῶν ἀδίκων·

Philo Judaeus Phil., De agricultura
Section 95, line 5
τὴν | οὖν ἐξετάζουσαν καὶ ἀκριβοῦσαν
καὶ διακρίνουσαν καὶ τρόπον τινὰ δικάζουσαν ἕκαστα τῆς ψυχῆς δύναμιν
ὡμοίωσε δράκοντι – ζῷον δ' ἐστὶ καὶ τὴν κίνησιν ποικίλον καὶ συνετὸν

ἐν τοῖς μάλιστα καὶ πρὸς ἀλκὴν ἕτοιμον καὶ τοὺς χειρῶν ἄρχοντας ἀδίκων ἀμύνασθαι δυνατώτατον – , οὐ μὴν τῷ φίλῳ καὶ συμβούλῳ ζωῆς – Εὔαν πατρίῳ γλώττῃ καλεῖν αὐτὴν ἔθος – , ἀλλὰ τῷ πρὸς Μωυσέως ἐξ ὕλης χαλκοῦ δημιουργηθέντι, ὃν οἱ δηχθέντες ὑπὸ τῶν ἰοβόλων ὄφεων καίτοι μέλλοντες τελευτήσειν ὁπότε κατίδοιεν ἐπιβιοῦν

Philo Judaeus Phil., De agricultura
Section 118, line 4
ἆρ' οὐ τὸ
τοὺς χειρῶν ἄρχοντας ἀδίκων κολάζεσθαι;

Philo Judaeus Phil., De Abrahamo
Section 211, line 3
καὶ θαυμαστὸν οὐδέν, εἰ
πρὸς τοὺς ἀλλοτρίους τοιοῦτος ἦν, οἳ βαρυτέρᾳ καὶ δυνατωτέρᾳ χειρὶ συμφωνήσαντες ἠμύναντο ἂν ἄρχοντα χειρῶν ἀδίκων, ὁπότε καὶ πρὸς τοὺς γένει μὲν οἰκείους, γνώμῃ δ' ἠλλοτριωμένους, ἐρήμους καὶ μόνους καὶ πολλῷ καταδεέστερα κεκτημένους ἐμετρίαζεν, ἐλαττούμενος ἑκὼν ἐν οἷς πλεονεκτεῖν ἐδύνατο.

Philo Judaeus Phil., De vita Mosis (lib. i-ii)
Book 1, section 142, line 4
οἱ μὲν γὰρ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ ἱκέτας, ὡς ἔφην πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων, οἱ δὲ καιροῦ παραπεσόντος ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προασπίζοντος καὶ τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου.

Philo Judaeus Phil., De vita Mosis (lib. i-ii)
Book 1, section 311, line 4
αἰχμαλώτων δὲ σωμάτων
ἀπερίληπτον ἀριθμὸν ἀπαγαγόντες ἄνδρας μὲν καὶ γυναῖκας κτείνειν ἐδικαίωσαν, τοὺς μὲν ὅτι βουλευμάτων καὶ χειρῶν ἦρξαν ἀδίκων, τὰς δ' ἐπεὶ κατεγοήτευσαν τὴν Ἑβραίων νεότητα, παραιτίας γενομένας αὐτοῖς ἀκολασίας καὶ ἀσεβείας καὶ τὰ τελευταῖα θανάτου·

Philo Judaeus Phil., De specialibus legibus (lib. i-iv)
Book 3, section 85, line 3
ἢ οὐχὶ τὸ
μὲν χειρῶν ἄρχειν ἀδίκων ἐστὶ πρότερον, τὸ δ' ἀμύνεσθαι ὕστερον;

Philo Judaeus Phil., De specialibus legibus (lib. i-iv)
Book 4, section 224, line 3
ἐξ οὗ δῆλον ὅτι τὸ Ἰουδαίων ἔθνος ἔνσπονδον μὲν καὶ φίλον πᾶσι τοῖς ὁμογνώμοσι καὶ τὴν προαίρεσιν εἰρηνικοῖς ἐστιν, οὐ μὴν εὐκαταφρόνητον, ὡς τοῖς ἄρχουσι χειρῶν ἀδίκων ὑπ' ἀνανδρίας ἐνδιδόναι, διακρίνει δ', ὁπότε πρὸς ἄμυναν ἴοι, τοὺς ἐπιβούλως ζῶντας καὶ τοὐναντίον·

Antiphon Orat., Tetralogia 3
Tetralogy 2, section 1, line 7
Ἄρχων γὰρ
χειρῶν ἀδίκων, καὶ παροινῶν εἰς ἄνδρα πολὺ αὑτοῦ
σωφρονέστερον, οὐχ αὑτῷ μόνον τῆς συμφορᾶς, ἀλλὰ καὶ
ἐμοὶ τοῦ ἐγκλήματος αἴτιος γέγονεν.

Xenophon Hist., Cyropaedia
Book 1, chapter 5, section 13, line 8
νῦν γὰρ ἔρχονται
μὲν οἱ πολέμιοι ἄρχοντες ἀδίκων χειρῶν, καλοῦσι δὲ ἡμᾶς
ἐπικούρους οἱ φίλοι·

Aristoteles et Corpus Aristotelicum Phil., Rhetorica
Bekker page 1402a, line 3
οὐ γὰρ πάντως,
ἀλλ' ὅταν ἄρχῃ χειρῶν ἀδίκων.

Septuaginta, Machabaeorum ii
Chapter 4, section 40, line 3
ἐπεγειρομένων δὲ τῶν ὄχλων
καὶ ταῖς ὀργαῖς διεμπιπλαμένων καθοπλίσας ὁ Λυσίμαχος πρὸς
τρισχιλίους κατήρξατο χειρῶν ἀδίκων προηγησαμένου τινὸς Αυρα-
νου προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον καὶ τὴν ἄνοιαν·

Lysias Orat., Περὶ τραύματος ἐκ προνοίας ὑπὲρ οὗ καὶ πρὸς ὃν <ἄδηλον>
Section 11, line 2
τον μὲν τοῦτ' ἂν κατεῖπεν, πότερα κοινὴ ἡμῖν ἦν ἢ ἰδία
τούτου, καὶ πότερα τὸ ἥμισυ τοῦ ἀργυρίου ἐγὼ συνεβαλό-
μην ἢ οὗτος ἅπαν ἔδωκε, καὶ εἰ διηλλαγμένοι ἢ ἔτι ἐχθροὶ
ἦμεν, ἔτι δὲ εἰ μεταπεμφθέντες ἤλθομεν ἢ οὐδενὸς καλέ-
σαντος, καὶ εἰ οὗτος ἦρχε χειρῶν ἀδίκων ἢ ἐγὼ πρότερος
τοῦτον ἐπάταξα.

Polybius Hist., Historiae
Book 2, chapter 45, section 6, line 2
τοιγαροῦν ὁρμήσαντες ἐπὶ τὸ πολυ-
πραγμονεῖν καὶ χειρῶν ἄρχειν ἀδίκων οὐχ οἷον ἤνυ-
σάν τι τῶν ἐπινοηθέντων, ἀλλὰ τοὐναντίον καὶ τὸν
Ἄρατον τότε προεστῶτα καὶ τὸ ἔθνος ἐσωματοποίη-
σαν, πραγματικῶς ἀντιπερισπάσαντος ἐκείνου καὶ
λυμηναμένου τὰς ἐπιβολὰς αὐτῶν.

Polybius Hist., Historiae
Book 2, chapter 56, section 14, line 3
ἀλλ'
ὅμως, ἐὰν μὲν ἄρχων ἀδίκων χειρῶν πάθῃ τις

τοῦτο, δικαίως κρίνεται πεπονθέναι·

Polybius Hist., Historiae
Book 9, chapter 35, section 8, line 2
ὑμεῖς δ' ἃ μὲν ἐπάθετε, τού-
τοις ἐξηγήσασθε, μείζω ποιοῦντες τῶν γεγονότων,
ἃ δ' ἐποιήσατε πρότεροι, πολλαπλάσια γεγονότα παρ-
εσιωπήσατε, σαφῶς εἰδότες ὅτι τὰς ἀδικίας καὶ
ζημίας ἅπαντες ἀεὶ τοῖς ἄρχουσι χειρῶν ἀδίκων
ἐπιφέρουσι.

Polybius Hist., Historiae
Book 15, chapter 8, section 2, line 4
μάρτυρας δὲ καὶ
τοὺς θεοὺς γεγονέναι τούτων, περιθέντας τὸ κράτος
οὐ τοῖς ἄρχουσι χειρῶν ἀδίκων, ἀλλὰ τοῖς ἀμυνο-
μένοις.

Polybius Hist., Fragmenta ex incertis libris
Fragment 99, line 3

Ἀμυνόμενοι] οἱ γὰρ Ῥωμαῖοι οὐ τὴν
τυχοῦσαν πρόνοιαν ἐποιοῦντο τοῦ μὴ κατάρχοντες
φαίνεσθαι χειρῶν ἀδίκων, μηδ' ἀναιρούμενοι τοὺς πο-
λέμους τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας, ἀλλ' ἀεὶ δο-
κεῖν ἀμυνόμενοι καὶ κατ' ἀνάγκην ἐμβαίνειν εἰς τοὺς
πολέμους.

Claudius Aelianus Soph., Varia historia
Book 11, section 9, line 16
Ἰάσονος δὲ αὐτῷ πέμψαντος πεντήκοντα χρυσοῦς, ὁ
δὲ 'ἀδίκων' ἔφη 'ἄρχεις χειρῶν.

Anaximenes Hist., Rhet., Ars rhetorica vulgo Rhetorica ad Alexandrum
Chapter 36, section 43, line 7
ἔγωγε ἀδίκων
χειρῶν ἄρχοντα.

Pseudo-Apollodorus Myth., Bibliotheca (sub nomine Apollodori)
Chapter 2, section 64, line 3
δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ
φόνου, παρανέγνω νόμον Ῥαδαμάνθυος λέγοντος, ὃς
ἂν ἀμύνηται τὸν χειρῶν ἀδίκων κατάρξαντα, ἀθῷον
εἶναι, καὶ οὕτως ἀπελύθη.

Ctesias Hist., Med., Fragmenta
Volume-Jacoby'-F 3c,688,F, fragment 9, line 84

καὶ Ἀμόργην φίλον τούτοις τῶν δεξιῶν ἐμβαλλομένων ἐποιεῖτο [καὶ ἀλλήλοις], καὶ τοῖς μὲν ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων.

Clemens Romanus et Clementina Theol., Pseudo-Clementina (epitome altera auctore Symeone Metaphrasta) [Sp.]
Section 158, line 6

ἐκεῖνος δὲ ἀπαθὴς ἀπὸ τῶν ἀδίκων ἐκείνων ἐτηρεῖτο χειρῶν, οὐδὲ μικρὰν ἁφὴν ὑπομένων, οὐδὲ ἐν μέσοις τοῖς δεινοῖς θορυβούμενος.

Synesius Phil., Aegyptii sive de providentia
Chapter 2, section 2, line 14

δρᾶσθαι γὰρ ταῦτα τοῦ μηδὲν ἐνέχυρον αὐτῶν ἔχειν τὸ ἄστυ, ὥστε, ἐπειδὰν τάχιστα ἀποσκηνώσωσι, χειρῶν ἀδίκων ἄρξειν αὐτούς, ἀδεεῖς ὄντας τοῦ μή τι παραπολαύσωσιν, ὁμεστίων ὄντων τοῖς ἀδικουμένοις τῶν ἀδικούντων.

Gregorius Nyssenus Theol., Encomium in sanctum Stephanum protomartyrem i
Page 20, line 10

οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι, ὁ τὸν περὶ τοῦ μὴ φονεῦσαι νόμον διὰ τοῦ μηδὲ τὴν ἀρχὴν ὀργισθῆναι τοῖς μαθηταῖς βεβαιώσας, ὁ τῇ ἐπιθυμίᾳ συνεκβαλὼν τὴν μοιχείαν, ὁ διὰ τοῦ μὴ ἀμύνασθαι τὸν προληλυπηκότα κελεῦσαι τὸ μηδὲ ἄρχειν ἀδίκων χειρῶν κατασκευάσας, ὁ διὰ τῆς μεταδόσεως τῶν προσόντων τὸ κατὰ πλεονεξίαν πάθος ὑπερορίσας;

Gregorius Nyssenus Theol., Orationes viii de beatitudinibus
Volume 44, page 1276, line 20

Κωλύει τὸ ἄρχειν ἀδίκων χειρῶν, διὰ τὸ μηδὲ ἀμύνεσθαι συγχωρῆσαι.

Eusebius Scr. Eccl., Theol., Constantini imperatoris oratio ad coetum sanctorum
Chapter 15, section 3, line 10

τοῦτον δὴ μένειν κατὰ σχολὴν ἐκέλευσε καὶ μεθιέναι τὸ ξίφος, ἐγκαλῶν ὡς ἀπελπίσαντι τῆς πρὸς αὐτὸν καταφυγῆς, νομοθετῶν δὲ διαρρήδην πάντα τὸν ἀδίκων χειρῶν κατάρξαντα ἢ πρὸς τὸν καταρξάμενον ἀδικεῖν ἐπιχειρήσαντα ξίφει τε χρησάμενον ἀπολεῖσθαι βιαίως.

Sopater Rhet., Διαίρεσις ζητημάτων
Volume 8, page 218, line 6

εἰ γὰρ τοὺς ἄρξαντας χειρῶν ἀδίκων ἀμύνασθαι νόμιμον, τοὺς μηδὲν ἄτοπον πράξαντας πολεμῆσαι παράνομον·

Basilius Theol., Homilia adversus eos qui irascuntur
Volume 31, page 357, line 16
Ἦρξε χειρῶν ἀδίκων, ὁ
δὲ ἠμύνατο·

Basilius Theol., Homilia in principium proverbiorum
Volume 31, page 417, line 2
Γλῶσσαν ἄδικον
χαλινοῖ, ὀφθαλμὸν παιδεύει πονηρὰ βλέποντα, χειρῶν
ἀδίκων ἄρχειν οὐκ ἐπιτρέπει·

Eunapius Hist., Soph., Fragmenta historica
Volume 1, page 221, line 5
ἀλλ' ὅτι πρῶτον μὲν ἄρξετε χει-
ρῶν ἀδίκων, οὗ μείζων ὄλεθρος οὐκ ἔστιν ἀνθρώ-
ποις, κἂν δοκῶσι πρὸς τὸ βραχὺ καὶ παρὸν ἐπιτυγχά-
νειν·

Joannes Chrysostomus Scr. Eccl., In illud: Si esurierit inimicus
Vol 51, pg 184, ln 35
Καίτοι γε εἰ ἀνῃρήκει τότε
τὸν Σαοὺλ, καὶ οὕτως αὐτῷ φιλοσοφίας ἐγκώμιον ἀκέ-
ραιον ἔμενεν ἂν, οὐ μόνον ὅτι ἠμύνατο, οὐκ αὐτὸς
ἄρχων χειρῶν ἀδίκων, ἀλλ' ὅτι καὶ, Ὀφθαλμὸν
ἀντὶ ὀφθαλμοῦ, μετὰ πολλῆς ἐνίκα τῆς ἐπιεικείας.

Joannes Chrysostomus Scr. Eccl., Expositiones in Psalmos
Vol 55, pg 91, ln 54
Δικαιοσύνην δὲ ἐνταῦθα λέγει, τὸ μὴ ἄρξαι χειρῶν
ἀδίκων·

Joannes Chrysostomus Scr. Eccl., Expositiones in Psalmos
Vol 55, pg 95, ln 45
Ἐπειδὴ τοίνυν
καὶ ἐγὼ οὐκ ἦρξα χειρῶν ἀδίκων, οὐδὲ ἀμύνασθαι
ἐπιθυμῶ, διὰ τοῦτο δικαία ἂν γένοιτο ἡ βοήθειά μου
παρὰ τοῦ Θεοῦ.

Joannes Chrysostomus Scr. Eccl., Expositiones in Psalmos
Vol 55, pg 101, ln 29
Εἰ βουληθῇ
τίς τινα ἀμύνασθαι, ἢ ἄρξαι χειρῶν ἀδίκων, ὅρα
πόσα πάσχει δεινά.

Joannes Chrysostomus Scr. Eccl., In Matthaeum (homiliae 1-90)
Vol 57, pg 266, ln 8

Ὁ μὲν γὰρ ἄρ-
ξας χειρῶν ἀδίκων ἀμφοτέρους αὐτὸς ἔσται ἀν-
ῃρηκὼς τοὺς ὀφθαλμοὺς, καὶ τὸν τοῦ πλησίον, καὶ
τὸν αὐτοῦ.

Joannes Chrysostomus Scr. Eccl., In Joannem (homiliae 1-88)
Vol 59, pg 52, ln 63
Ἡμεῖς δὲ μετὰ τοσαύτης σφοδρότητος ἐναντιού-
μεθα, ὡς μὴ μόνον μὴ παρέχειν ἑαυτοὺς εἰς τὸ
κακῶς παθεῖν, ἀλλὰ καὶ ἀμύνασθαι, πολλάκις δὲ καὶ
ἄρχειν χειρῶν ἀδίκων, καὶ ἐλαττοῦσθαι νομίζειν, ἂν
μὴ πράξωμεν τὰ αὐτά.

Joannes Chrysostomus Scr. Eccl., In epistulam i ad Thessalonicenses (homiliae 1-11)
Vol 62, pg 422, ln 7
οὐ γὰρ
αὐτὸς ἄρχεις χειρῶν ἀδίκων, ἀλλ' ἀμύνῃ τοὺς ἠδικη-
κότας.

Joannes Chrysostomus Scr. Eccl., In Psalmum 118 (homiliae 1-3) [Sp.]
Vol 55, pg 694, ln 46
Ὁ δὲ μέγας Δαυῒδ τοῖς
ὑπηκόοις ἔτι συντεταγμένος καὶ νέαν ἄγων τὴν ἡλικίαν,
τὴν φιλοσοφίαν ἠγάπησε, καὶ οὔτε ἄρξαι χειρῶν ἀδίκων
ἠνέσχετο, οὔτε τοὺς ἀδικοῦντας ἀμύνασθαι.

Didymus Caecus Scr. Eccl., Fragmenta in Proverbia
Volume 39, page 1636, line 11
ἀδίκων δὲ μάρτυς, ὁ συνιστᾷν ἐπιχειρῶν ἃ ἂν
ἄδικα πράττῃ·

Georgius Cedrenus Chronogr., Compendium historiarum
Volume 2, page 399, line 1
οἱ δὲ Ῥωμαῖοι ταῖς ἐξ ὑπογύου νίκαις γαυρούμενοι καὶ τὴν τὰ
πάντα κρῖναι μέλλουσαν μάχην προσδεχόμενοι, εἰδότες δ ὅτι καὶ
θεὸν συλλήπτορα ἕξουσιν, οὐ τοῖς ἀδίκων χειρῶν ἄρχουσι φιλοῦντα
ἀλλὰ τοῖς ἀδικουμένοις διὰ παντὸς ἐπαρήγειν, οὐ μόνον οἱ εὐψυ-
χότεροι, ἤδη δὲ καὶ οἱ καταπλῆγες καὶ μαλακοὶ τὰς ψυχὰς πρό-
θυμοι καὶ θαρραλέοι ἐγίνοντο καὶ πρὸς τὴν συμπλοκὴν λίαν ἐσφά-
δαζον.

Joannes Cinnamus Gramm., Hist., Epitome rerum ab Joanne et Alexio Comnenis gestarum
Page 73, line 5
ἤλιον ἀγῶσι καὶ μάχαις κατὰ βαρβάρων ἐνευδοκιμηκότα τῶν τῆδε
[Κωνσταντίνου], ἅμα τῷ Προσούχ, οὗπερ ἤδη ἐμνήσθην, Πέρσῃ
μὲν τὸ γένος τροφῆς δὲ καὶ παιδείας μεταλαχόντι Ῥωμαϊκῆς, ἐπί

τινα χῶρον ᾧ Λόγγοι ὄνομα ἅμα στρατεύμασιν ἐλλοχήσοντας ἔστελλεν, ἐπισκήψας αὐτοῖς, ἐπειδὰν χειρῶν ἀδίκων καὶ πάλιν κατάρχειν πειρῶνται Ἀλαμανοί, ἀντεπεξιέναι σφίσι κατὰ τὸ ἐγχωροῦν.

Constantinus VII Porphyrogenitus Imperator Hist., De legationibus
Page 593, line 11
ἀλλ' ὅτι πρῶτον μὲν ἄρξετε χειρῶν ἀδίκων, οὗ μείζων ὄλεθρος οὐκ ἔστιν ἀνθρώποις, κἂν δοκῶσι πρὸς τὸ βραχὺ καὶ παρὸν ἐπιτυγχάνειν·

Constantinus VII Porphyrogenitus Imperator Hist., De sententiis
Page 169, line 26
μάρτυρας δὲ καὶ τοὺς θεοὺς γεγονέναι τούτων, περιθέντας τὸ κράτος οὐ τοῖς ἄρχουσι χειρῶν ἀδίκων ἀλλὰ τοῖς ἀμυνομένοις.

Joannes Scylitzes Hist., Synopsis historiarum
Emperor life John1, section 11, line 28
οἱ δὲ Ῥωμαῖοι ταῖς ἐξ ὑπογύου νίκαις γαυρούμενοι καὶ τὴν τὰ πάντα κρῖναι μέλλουσαν μάχην προσεκδεχόμενοι, εἰδότες δ', ὅτι καὶ θεὸν συλλήπτορα ἕξουσιν, οὐ τοῖς ἀδίκων χειρῶν ἄρχουσι φιλοῦντα, ἀλλὰ τοῖς ἀδικουμένοις διὰ παντὸς ἐπαρήγειν, οὐ μόνον οἱ εὐψυχότεροι, ἤδη δὲ καὶ οἱ καταπλῆγες καὶ μαλακοὶ τὰς ψυχὰς πρόθυμοι καὶ θαρραλέοι ἐγίνοντο καὶ πρὸς τὴν συμπλοκὴν λίαν ἐσφᾴδαζον.

Nicolaus I Mysticus Theol., Epist., Epistulae
Epistle 14, line 124
Καὶ οὐ λέγω περί τινος τοῦ κατὰ σὲ ἡμέρου καὶ φιλανθρώπου, ἀλλ' οἷος ἂν ᾖ ἀφιλάνθρωπος καὶ ἀνήμερος παύσεται πάντως τῆς πικρίας καὶ κατασβέσει τὸ πῦρ τοῦ θυμοῦ καὶ σπείσεται πρὸς τὸν ἄρξαι χειρῶν ἀδίκων ἀπονοηθέντα.

Nicolaus I Mysticus Theol., Epist., Opuscula diversa
Section 206, line 9
Ἅρπασον χειρῶν με ἀδίκων ἀνθρώπων,
πάτερ Νικόλαε,
καὶ διαφύλαξον, ὅτι ἰδοὺ ὥσπερ κύνες
ὠρυόμενοι ζητοῦσί με ἀπολέσαι, ἅγιε·

Pseudo-Zonaras Lexicogr., Lexicon
Alphabetic letter alpha, page 161, line 4
οἱ δὲ Ῥωμαῖοι ἔθος εἶχον, μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι.

Anonymi In Aristotelis Artem Rhetoricam Rhet., In Aristotelis artem rhetoricam commentarium
Page 152, line 8
<ἀλλὰ> πῇ, ἤτοι
ὅταν μηδὲν παθὼν κακὸν παρὰ τοῦ ἐλευθέρου ἄρξωμαι <χειρῶν ἀδίκων>
ἤτοι τύψω τὸν ἐλεύθερον·

Procopius Hist., De bellis
Book 3, chapter 12, section 20, line 2
ὑμᾶς δὲ
"προσήκει μήτε χειρῶν ἄρχειν ἀδίκων μήτε τι φέρε-
"σθαι τῶν ἀλλοτρίων·

Procopius Hist., De bellis
Book 3, chapter 17, section 6, line 2
Εἰς δὲ Σύλλεκτον ἀφικόμενος Βελισάριος σώφρονάς
τε τοὺς στρατιώτας παρείχετο καὶ οὔτε ἀδίκων χειρῶν
ἄρχοντας οὔτε τι ἄπο τρόπου ἐργαζομένους, αὐτός τε
πρᾳότητα καὶ φιλανθρωπίαν πολλὴν ἐνδεικνύμενος
οὕτω τοὺς Λίβυας προσεποιήσατο ὥστε τοῦ λοιποῦ
καθάπερ ἐν χώρᾳ οἰκείᾳ τὴν πορείαν ποιεῖσθαι, οὔτε

Procopius Hist., De bellis
Book 6, chapter 14, section 28, line 1
γυναῖκάς
τε γὰρ ἐβιάζοντο καὶ βοῦς τε καὶ ἄλλα χρήματα ἥρπαζον,
καὶ ἀδικίας οὐδ' ὁτιοῦν ὑπελείποντο, καὶ τελευτῶντες
ἀδίκων χειρῶν ἐς αὐτοὺς ἦρχον.

Procopius Hist., Historia arcana (= Anecdota)
Chapter 17, section 2, line 4
στασιῶται
δὲ Βένετοι δύο Κίλικες γένος Καλλινίκῳ τῷ Κιλικίας
Δευτέρας ἄρχοντι σὺν θορύβῳ πολλῷ ἐπιστάντες χει-
ρῶν ἀδίκων ἐπ' αὐτὸν ἦρξαν, τόν τε αὐτοῦ ἱπποκόμον
ἄγχιστά που ἑστῶτα καὶ ἀμύνειν τῷ κεκτημένῳ πειρώ-
μενον ἔκτειναν, τοῦ τε ἄρχοντος καὶ τοῦ δήμου θεω-
μένου παντός.

Procopius Hist., Historia arcana (= Anecdota)
Chapter 29, section 38, line 1
οὐκ ἂν ταύτην τὴν πολιτείαν ἐλεεινοτάτην καλοίη, ἐν
ᾗ βασιλεὺς μὲν δωροδοκήσας ἀνεξέταστα κατέλειψε τὰ
ἐγκλήματα, στασιῶται δὲ βασιλέως ἐν Παλατίῳ ὄντος
ἐπαναστῆναι τῶν τινι ἀρχόντων οὐδεμιᾷ ὀκνήσει ἐτόλ-
μησαν, ἀδίκων τε χειρῶν ἐπ' αὐτὸν ἄρξαι;

Photius Lexicogr., Scr. Eccl., Theol., Bibliotheca
Codex 72, Bekker page 37a, line 23
ἐπηρᾶτο δὲ τοῖς χει-
ρῶν ἄρξουσιν ἀδίκων.

Damascius Phil., Vita Isidori (ap. Sudam, Hesychium, Photium et e cod. Vat. 1950)
Fragment 372*, line 4
Suda I 105, 19 s. v. ἀλεξόμενον
τὸν κακῶς ἄρξαντα κακῶσαι θέλειν, καθάπερ ἐπὶ τῶν κατ' ἰδίαν ἀδικημά-
των οἱ νομοθέται καὶ δικασταὶ πάσας τὰς τῶν συμβαινόντων βλάβας οὐκ
ἐπὶ τὸν ἀλεξόμενον, ἀλλ' ἐπὶ τὸν ἄρχοντα χειρῶν ἀδίκων ἀναφέρουσι.

Eustathius Philol., Scr. Eccl., Commentarium in Dionysii periegetae orbis descriptionem
Section 209, line 6
Τούτους, φησὶ, Διὸς οὐκ ἀλέγοντας ἀπώλε-
σεν Αὐσονὶς αἰχμὴ, ἀδίκων χειρῶν κατάραντες.

Hesychius Lexicogr., Lexicon (Α – Ο)
Alphabetic letter eta, entry 864, line 1
ἐπὶ τοῦ ἤρξατο, <χειρῶν ἀδίκων>
<Ἡρῷσσαι>·

Theodoretus Scr. Eccl., Theol., Commentaria in Isaiam
Section 20, line 556
τὸ μὲν γὰρ θύειν μόσχον καὶ
θυσιάζειν πρόβατον καὶ προσφέρειν σεμίδαλιν καὶ λιβανωτὸν
[ὑπὸ τοῦ θεοῦ] συνεκεχώρητο πάλαι, τὸ δὲ ἄρχειν χειρῶν
ἀδίκων καὶ βλασφημίᾳ τὴν γλῶτταν μολύνειν πα[ντελῶς]
ἀπηγόρευτο, ὕες δὲ καὶ κύνες ἀκάθαρτα ἐνενόμιστο.

Theodoretus Scr. Eccl., Theol., Interpretatio in Psalmos
Volume 80, page 1853, line 4
Ὁ δὲ μέγας Δαυῒδ, τοῖς ὑπηκόοις ἔτι συν-
τεταγμένος, καὶ νέαν ἄγων τὴν ἡλικίαν, τὴν φιλοσο-
φίαν ἠγάπησε, καὶ οὔτε ἄρξαι χειρῶν ἀδίκων ἠνές-
χετο, οὔτε τοὺς ἀδικοῦντας ἀμύνασθαι.

Choricius Rhet., Soph., Opera
Oration-declamation-dialexis 23, section 2, paragraph 50, line 10
κἂν ἀδίκων ἄρξω χειρῶν, τῷ μὴ
ποιῆσαι τραυματίαν ἀθῷος ἀπέρχομαι;

Choricius Rhet., Soph., Opera
Oration-declamation-dialexis 26, section 2, paragraph 78, line 5
οὐ ποιεῖ τὸν
κλέπτην ἀνεύθυνον ἡ τῶν φωρίων ἀπόδοσις οὐδὲ τὸν ἄρ-

ξαντα χειρῶν ἀδίκων τὸ καταγνῶναι τῆς ὕβρεως, ἀλλὰ καὶ
ψιλῇ κατηγορίᾳ πρὸς δικαστήριον ἄγεται.

Etymologicum Magnum, Etymologicum magnum
Kallierges page 53, line 36
<Ἀκροχειρίζεσθαι>: Ἄρχεσθαι χειρῶν ἀδίκων,
ἔργων.

Julianus Scr. Eccl., Commentarius in Job
Page 25, line 1
ὁ δὲ θεὸς οὐκ ἀγνοῶν τὸν
ἑαυτοῦ θεράποντα, φησὶ τῷ χειρῶν ἀδίκων προκατάρξαντι ὡς ὁ ἅγιος Μωυσῆς ἱστο-
ρεῖ·

Julianus Scr. Eccl., Commentarius in Job
Page 90, line 15
μι-
σοπόνηρος γάρ ἐστι καὶ πάντας τοὺς ἄρξαντας χειρῶν ἀδίκων κολάζει.

Joannes Antiochenus Hist., Fragmenta
Fragment 70, line 26
Συρίαν τε γὰρ καὶ Φοινίκην ἀπετέμετο,
καὶ πεντακισχίλια τάλαντα ἀργυρίου τῷ Ῥωμαίων
δικαίῳ, ἅτε χειρῶν ἀδίκων
ἀρξάμενον, προσηνάγκασε.

Scholia In Aeschylum, Scholia in Aeschylum (scholia recentiora Demetrii Triclinii)
Play Ag, hypothesis-scholion 773b, line 5
τὰ δὲ κεκοσμημένα ἐν χρυσῶι καὶ κεκαλλωπισμένα ἔνδοξα καὶ πλού-
σια δώματα σὺν πίνωι καὶ ῥώπωι χειρῶν, ἤγουν τὰ πλουτοῦντα ἐν
πράξεσι καὶ ἐνεργείαις χειρῶν ῥυπαρῶν καὶ ἀδίκων καὶ ἁρπακτικῶν,
λιποῦσα ἡ δίκη παλίντροπα τοῖς ὄμμασι, τουτέστιν εἰς τοὐπίσω τῶν
ὀμμάτων τετραμμένα, ἤγουν παραβλέψασα ταῦτα, εἰς τὰ ὅσια προσ-
έρχεται δώματα οὐ τιμῶσα ἐν αἴνωι, ἤτοι οὐκ ἐπαινοῦσα, δύναμιν

Scholia In Platonem, Scholia in Platonem (scholia vetera)
Dialogue R, Stephanus page 464e, line 8
αἰκίας δὲ δίκη ἐστιν
ὅταν ἐκ προχείρου πάθους τινὸς καὶ μὴ ἐκ προνοίας ἀδίκων τις ἄρξῃ
χειρῶν.

Scholia In Platonem, Scholia in Platonem (scholia vetera)
Dialogue Lg, Stephanus page 630e,bis, line 8
αἰκία δέ ἐστι δίκη ἐκ
προχείρου πάθους γιγνομένη τινός, ἣν ὁ εἰργασμένος πρότερος ἀδίκων
ἦρξε χειρῶν, ἣ καὶ πρὸς τοὺς τεσσαράκοντα εἰσαγώγιμος ἦν.

Scholia In Thucydidem, Scholia in Thucydidem (scholia vetera et recentiora)
Book 1, chapter 123, section 2, line 3
<οἱ πρότεροι ἐπιόντες:> οἱ ἄρξαν-
τες ἀδίκων χειρῶν.

Suda, Lexicon
Alphabetic letter alpha, entry 1140, line 4
τὸν κακῶς ἄρξαντα κακῶσαι
θέλειν, καθάπερ ἐπὶ τῶν κατ' ἰδίαν ἀδικημάτων οἱ νομοθέται καὶ δικα-
σταὶ πάσας τὰς τῶν συμβαινόντων βλάβας οὐκ ἐπὶ τὸν ἀλεξόμενον,
ἀλλ' ἐπὶ τὸν ἄρχοντα χειρῶν ἀδίκων ἀναφέρουσι.

Suda, Lexicon
Alphabetic letter alpha, entry 1678, line 2
οἱ δὲ Ῥωμαῖοι ἔθος εἶχον μὴ ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ'
ἀεὶ δοκεῖν ἀμυνόμενοι κατ' ἀνάγκην ἐμβαίνειν εἰς τοὺς πολέμους.

Suda, Lexicon
Alphabetic letter epsilon, entry 941, line 4
οἱ γὰρ Ῥωμαῖοι πρόνοιαν ἐποι-
οῦντο τοῦ μηδέποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας,
μηδ' ἄρχοντες φαίνεσθαι χειρῶν ἀδίκων, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι
ἐμβαίνειν εἰς τοὺς πολέμους.

Suda, Lexicon
Alphabetic letter pi, entry 933, line 3
πλὴν πρόνοιαν ἀεὶ ἐποίουν Ῥωμαῖοι
μή ποτε πρότεροι τὰς χεῖρας ἐπιβάλλειν τοῖς πέλας μήδ' ἄρχοντες
φαίνεσθαι χειρῶν ἀδίκων.

Suda, Lexicon
Alphabetic letter pi, entry 2024, line 20
Συρίαν τε γὰρ καὶ
Φοινίκην ἀπετέμετο καὶ πεντακισχίλια τάλαντα ἀργυρίου τῷ Ῥωμαίων
δικαίῳ, ἅτε χειρῶν ἀδίκων ἀρξάμενον, προσηνάγκασε.